A Δι. Τοιουτοσὶ τίνυν με δαρδάπτει πόθος
Εὐριπίδου, καὶ ταῦτα τοῦ τεθνηκότος.
Κοὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων, τὸ μὴ οὐκ
Ἐλθεῖν ἐπ' ἐκεῖνον. Ηρ. πότερον, εἰς Ἅδου κάτω;
Δι. Καὶ νὴ Δί' εἴ τί γ' ἐστιν ἔτι κατωτέρω.
B Ηρ. Τί βουλόμενος; Δι. δέομαι ποιητοῦ δεξιοῦ.
Οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσίν, οἱ δ' ὄντες, κακοί.
Ηρακλ. τί δ' οὐκ Ἰοφῶν ζῇ; Δι. τοῦτο γάρ τοι καὶ μόνον
Ἔτ' ἐστὶ λοιπὸν ἀγαθόν; εἰ καὶ τοῦτ' ἄρα.
Οὐ γὰρ σάφ' οἶδ', οὐδ' αὐτὸ τοῦθ' ὅπως ἔχει.
C Ηρ. Εἶτ' οὐχὶ Σοφοκλέα πρότερον ὄντ' Εὐριπίδου
Μέλλεις ἀναγαγεῖν, εἴπερ ἐκεῖθεν δεῖ σ' ἄγειν;
Δι. Οὔ, πρίν γ' ἂν Ἰοφῶντ' ἀπολαβὼν αὐτὸν μόνον,
Ἄνευ Σοφοκλέους, ὅ,τι ποιεῖ κωδωνίσω.
Κἄλλως. ὁ μέν γ' Εὐριπίδης πανοῦργος ὤν,
D Καὶ ξυναποδρᾶναι δεῦρ' ἐπιχειρήσειέ μοι.
Ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.
Ηρακλ. Ἀγάθων δὲ ποῦ 'στιν; Δι. ἀπολιπών μ' ἀποίχεται,
Ἀγαθὸς ποιητής, καὶ ποθεινὸς τοῖς φίλοις.

*BA. Tantus me amor videndi Euripidem tenet:*
*Quamuis iam mortuus sit: vt nemo mihi*
*Hominum persuaserit, vt ne conueniam hinc eum.*
HE. *An obsecro tu ergo descendes ad inferos?*
BA. *Et per Iouem, si est quicquam inferius inferis.*
HE. *Quid illic acturus?* BA. *poeta opus est mihi*
*Bono. nam tales nusquam sunt hîc amplius,*
*Qui verò sunt, mali sunt.* HE. *quid ais? an Iopho*
*Non viuit amplius.* BA. *solùm hoc nobis boni.*
*Adhuc superest: si modò superest hoc tempore.*
*Neque enim sat noui, quomodo res habeat cum eo.*
HE. *Cur verò non potiùs Sophoclem, quàm Euripidem*
*Reduces: si quis omninò reducendus est?*
*BA. Non, nisi priùs seduxero Iophonem à patre*
*Sophocle: & quidnam rei gerat, explorauero.*
*Aliâs enim, vt versutus est, Euripides*
*Isthinc vnà mecum aufugere huc tentauerit.*
*Nam Sophocles tàm simplex illîc est, quàm hîc erat.*
HE. *Vbi verò est Agatho?* BAC. *reliquit me, & abijt,*
*Bonus Poëta, & amicis optatißimus.*

Σχόλια. Καὶ ταῦτα τοῦ τεθνηκότος.] τινὲς βούλονται ἓν πρόσωπον λέγειν ὅλον. τινὲς δὲ διορίζουσι τὸ τοῦ τεθνηκότος. ὡς τοῦ Ἡρακλέους λέγοντος αὐτό. οὕτω δὲ καὶ αἱ διδασκαλίαι φέρουσι. τελευτήσαντος Εὐριπίδου, τὸν υἱὸν αὐτοῦ, δεδιδαχέναι ὁμωνύμως ἐν ἄστει. Ἰφιγένειαν τὴν ἐν Αὐλίδι. Ἀλκμαίωνα. Βάκχας.

BISETVS. Εἰς Ἅδου.] Εὐστάθιος. Ἀΐς, Ἀΐδος, ὁ τόπος σκοτεινὸς ὑπὸ γῆν, ἀφανής, ἀφωρισμένος ψυχαῖς. διὸ καὶ Ἀΐδης λέγεται ὁ αὐτός, καὶ Ἀϊδωνεύς. ὡς δέ τινές φασι, καὶ Ἀΐδης κατὰ συναίρεσιν τοῦ Ἀΐδης. εἰς τοῦτο δὲ ἐναντιοῦται τὸ πνεῦμα. ὤφειλε γὰρ εἰ ἀπὸ τοῦ Ἀΐδης ὁ Ἅιδης γέγονε συναιρεθείς, ψιλοῦσθαι καὶ αὐτὸς καθὰ καὶ ὁ Ἀΐδης. ἀλλὰ δασυνθῆναί φασιν Ἀττικῶς. τάχα δὲ διὰ τὴν ἄθροισιν ἐν αὐτῷ τῶν ψυχῶν. καὶ γὰρ οἱ Ἀττικοὶ τὸ α ἀθροιστικὸν δασύνειν εἰώθασιν, ὡς ἐν τῷ ἅμα, ἅλις, ἅπας. οἱ δὲ γράφουσιν Ἅδης δασυνόμενον χωρὶς τοῦ ι. παρὰ τὸ ἥδω, τὸ εὐφραίνω, κατ' ἀντίφρασιν, ὅτι τῷ θανάτῳ, καὶ τῷ Ἅδῃ οὐδεὶς ἥδεται, καὶ χαίρει. ἢ τοίνυν Ἅδης, οὕτω γραπτέον, ἢ ᾅδης ψιλούμενον, καὶ μετὰ τοῦ ι ὑπογραφομένου, κατὰ συναίρεσιν ἐκ τοῦ ἀΐδης, ᾅδης, παρὰ τὸ α στερητικόν, καὶ τὸ ἰδεῖν, τὸ ὁρᾶν. ἐπεὶ γὰρ τοιοῦτος ὁ τόπος σκοτεινὸς ὑπάρχει.

Σχόλια. Οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσίν.] Εὐριπίδου ἐξ Οἰνέως. σὺ δ' ὧδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι. οἱ μὲν γὰρ, οὐκ ἔτ' εἰσίν, οἱ δ' ὄντες, κακοί. Τί δ' οὐκ Ἰοφῶν] Ἰοφῶν υἱὸς ἦν Σοφοκλέους ἐκ Νικοστράτης. ὃς δόκησιν παρεῖχεν, ὅτι τοῖς τοῦ πατρὸς ἐχρῆτο ποιήμασιν ὡς οἰκείοις. εἰσήγαγε δέ ποτε Σοφοκλῆς ἐν δράματι τὸν Ἰοφῶντα φθονοῦντα, καὶ πρὸς τοὺς φράτορας ἐγκαλοῦντα τῷ πατρὶ ὡς ὑπὸ γήρως παραφρονοῦντι. οἱ δὲ τῷ Ἰοφῶντι ἐπετίμησαν. Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν. εἰ μὲν εἰμὶ Σο-
E φοκλῆς, οὐ παραφρονῶ, εἰ δὲ παραφρονῶ Σοφοκλῆς οὐκ εἰμί. καὶ τότε τὸν Οἰδίποδα παραγνῶναι. οὐ μόνον δὲ Χοιρίλῳ καὶ τοῖς περὶ Αἰσχύλον καὶ Εὐριπίδην, ἀλλὰ καὶ Ἰοφῶντι συνηγωνίσατο τῷ υἱῷ. Τοῦτο γὰρ μόνον ἔτ' ἐστὶν ἀγαθόν.] ἠγωνίσατο γὰρ καὶ ἐνίκησε λαμπρῶς ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ. διὸ ἀμφιβάλλει, μήποτε τοῦ Σοφοκλέους εἴη. Ὅπως ἔχει.] εἴτε αὐτοῦ δηλονότι τὰ ποιήματα εἴτε τοῦ πατρὸς αὐτοῦ Σοφοκλέους. τοιαύτη γὰρ περὶ αὐτοῦ τοὺς πολλοὺς δόξα κατεῖχε. πρότερον δέ, τῇ ἡλικίᾳ ἢ τιμιώτερον. ἦν γὰρ ὁ Σοφοκλῆς Αἰσχύλου μὲν ἔτεσιν ἑπτὰ νε-
F ώτερος, Εὐριπίδου δὲ κδ. Οὔ πρίν γ' ἂν Ἰοφῶντα.] κωμῳδεῖται γὰρ Ἰοφῶν ὁ υἱὸς Σοφοκλέους, ὡς τὰ τοῦ πατρὸς λέγων. οὐ μόνον δὲ ἐπὶ τῷ τοῦ πατρὸς τραγῳδίας ἐπιγράφεσθαι κωμῳδεῖται, ἀλλ' ἐπὶ τῷ καὶ ψυχρός, καὶ μακρὸς εἶναι. τὸ δὲ κωδωνίσω, ὅτι τινὰ τῶν ὀρνέων δοκιμάζεται τῷ τοῦ κώδωνος ψόφῳ. καὶ τοὺς ἵππους οὕτω ἐδοκίμαζον εἰ ψοφώδεις εἶεν, ἢ εἰ θόρυβον ὑπομένειν δύναιντο: μήπως ἐν πολέμῳ εἰς κίνδυνον ὑπ' αὐτῶν ἐμβληθεῖεν, καὶ τοὺς ὄρτυγας. τινὲς δὲ ἀπὸ τῶν ἀγγείων τῶν σα-
G θρῶν. ἐπεὶ οὕτω δοκιμάζουσι διακρούοντες. τινὲς δὲ ἐκ μεταφορᾶς τῶν νομισμάτων. τινὲς δὲ ἀπὸ τῶν φυλάκων. Δημήτριος γάρ φησιν ὅτι κατὰ τὰς φυλακὰς εἰ ἐγρηγόρασι, κώδωσι διεσήμαινον, ὅπως ἂν φθέγγωνται. βέλτιον δὲ τὸ ἐπὶ τῶν ἵππων καὶ τῶν ἀγγείων. τὰ δὲ ἄλλα ἐσχεδίασαι. Εὔκολος.] ἁπλοϊκὸς καὶ ἐλευθέριος. τοιοῦτος δὲ ὁ Σοφοκλῆς. Ἀγάθων δέ,] οὗτος τραγικὸς ποιητὴς ἐπὶ μαλακίᾳ διεβάλλετο. Ποθεινὸς τοῖς φίλοις.] τοῖς σοφοῖς.